φησίν, «εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ»· εἶτα τὰ
ἁρμόζοντα τῷ ἐπισκόπῳ ἀπαριθμήσας καὶ περὶ διακόνων διαλαμβά-
νει. «Διακόνους, φησίν, ὡσαύτως σεμνούς, μὴ διλόγους, μὴ οἴνῳ πολλῷ
προσέχοντας, μὴ αἰσχροκερδεῖς, ἔχοντας τὸ μυστήριον τῆς πίστεως
ἐν καθαρᾷ συνειδήσει» καὶ τὰ ἑξῆς. Καὶ βραχὺ κατόπιν, αὖθις φησίν·
«οἱ καλῶς προεστῶτες πρεσβύτεροι διπλῆς || τιμῆς ἀξιούσθωσαν, μάλι- f 285v
στα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ· λέγει γὰρ ἡ Γραφή· βοῦν
ἀλοῶντα οὐ φιμήσεις· καί· ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. Κατὰ
πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου, ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν
μαρτύρων». Ἆρ᾽ οὐχ ἱκανὰ ταῦτα ἐλέγξαι τὴν αὐτῶν κακόνοιαν; Ἐν δὲ
ταῖς Πράξεσιν αὖθις περὶ Παύλου καὶ Βαρνάβα γέγραπται οὕτως.
«Χειροτονήσαντες δὲ αὐτοῖς πρεσβυτέρους κατ᾽ ἐκκλησίαν προσευξάμε-
νοι μετὰ νηστειῶν παρέθεντο αὐτοὺς τῷ Κυρίῳ, εἰς ὃν πεπιστεύκασι».
Ἐνταῦθα πρὸς τὴν ῥηθεῖσαν καὶ ἑτέραν αἵρεσιν ἀνατρέπει, τὰς τοῦ
Θεοῦ ἐκκλησίας βδελυκτὰς ἡγουμένην καὶ οἰκητήρια δαιμόνων, ὢ τῆς
τόλμης, καλοῦσαν αὐτάς. Εἰ οὖν οἰκητήρια δαιμόνων τὰ θεῖα τεμένη
καὶ οἱ ναοί, ὦ θεοστυγεῖς καὶ ἀνόητοι, τίνος χάριν παρὰ τῶν θείων
καὶ ἱερῶν Ἀποστόλων ᾠκοδομοῦντο; Πῶς οἶκον Θεοῦ ὁ Ἀπόστολος
ταῦτα καλεῖ; Φησὶ γὰρ πρὸς τὸν Τιμόθεον οὕτως· || «ἐὰν δὲ βρα f 286r
δύνω, ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν ἐκ-
κλησία Θεοῦ ζῶντος, στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας». Οὐ γὰρ
δυνατὸν οὐδ᾽ ὅλως ἐνδέχεται Θεὸν καὶ δαίμονας ἐπὶ τὸ αὐτὸ κατοικεῖν,
τοὺς ἅπαξ αὐτοῦ ἀποσκορακισθέντας. Καὶ καλῶς «ἑδραίωμα τῆς ἀλη-
θείας» καλεῖ, ἐν αὐτῇ γὰρ ἅπαντα τὰ θεῖα μυστήρια, ἤτουν τελεταί,
τὸ εἶναι ἔχουσι. Τὰ ὅμοιά ἐστιν ἰδεῖν καὶ ἐν τῇ πρὸς Κορινθίους αὐ-
τοῦ ἐπιστολῇ· «πρῶτον μὲν γάρ, φησί, συνερχομένων ὑμῶν ἐν Ἐκ-
κλησίᾳ, ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν»· καὶ μετ᾽ ὀλίγα «μὴ γὰρ
οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ
Θεοῦ καταφρονεῖτε καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας;». Ὡσαύτως
Ἰωάννης ἐν ταῖς αὐτοῦ ἐπιστολαῖς καὶ τῇ Ἀποκαλύψει τὰ αὐτὰ ἐμ-
πεδοῖ καὶ πᾶσα σχεδὸν ἡ Γραφή. Ὁ δὲ Χριστὸς καὶ τὸν πάλαι ἐν
Ἱεροσολύμοις ναὸν οἶκον τοῦ Θεοῦ καλεῖ· «μὴ ποιεῖτε, φησί, τὸν
οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου· γέγραπται γὰρ ὁ οἶκός μου
οἶκος προσευχῆς κληθήσεται». Εἰ δὲ || ἔνθα ἡ ἄλογος καὶ σκιώδης f 286v
θυσία τοσαύτη ἡ τιμή, πολλῷ μᾶλλον ἔνθα ἡ λογικὴ καὶ ἀληθινή.

1) Α΄ Τιμ. 3,1 8) Α΄ Τιμ. 3,8 6) Α΄ Τιμ. 5,17-19 12) Πράξ. 14,23.
14) ἐν τῇ φῳ: κατὰ Βογομίλων καὶ Τρωγλοδυτῶν 19) Α΄ Τιμ. 3,15
26) Α΄ Κορ. 11,18 27) αὐτ. 22. 32) Ἰωάν. 2, 16

Ἀλλ' οὗτοι καθάπαξ τῆς ὀρθῆς πίστεως καὶ ὑγιοῦς δόξης ἐκκλίναντες, ὁμόσε χωροῦσι κατὰ πάντων σχεδὸν αὐτῆς τῶν δικαιωμάτων. Ἡμεῖς δὲ καὶ αὖθις ἐπιλαβώμεθα τοῦ εἱρμοῦ τῆς ἀφηγήσεως.

Συλλαβόντες τοίνυν τὸν Ἰησοῦν, ὡς ἔφημεν, πρῶτον μὲν πρὸς τοὺς ἐξαγίστους ἀρχιερεῖς ἐκείνους ἄγουσιν, ἑσπέρας οὔσης βαθείας, εἶτα πρωῒ πρὸς Πιλάτον τὸν ἡγεμόνα, ὃν καὶ βιάσαντες ἐξήνεγκε κατὰ τοῦ Ἰησοῦ τὴν τοῦ σταυροῦ ψῆφον. Συσταυροῦσι δὲ τούτῳ καὶ δύο ληστάς, τὸν μὲν ἐκ δεξιῶν αὐτοῦ, τὸν δὲ ἕτερον ἐξ εὐωνύμων· «καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα, καὶ μετὰ ἀνόμων ἐλογίσθη»· ὧν ὁ ἐκ δεξιῶν πιστεύσας εἰς αὐτὸν καὶ εἰρηκὼς «μνήσθητί μου Κύριε ἐν τῇ βασιλείᾳ σου», ἤκουσε παρ' αὐτοῦ «ἀμὴν λέγω σοι σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ». Καὶ ταῦτα μὲν ὁ Χριστός. Τινὲς δ' ἀσυλλογίστως τοῦ ἀποστολικοῦ ἐκείνου ῥητοῦ ἐπιλαμβανόμενοι τοῦ φάσκοντος, «καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ Θεοῦ περὶ ἡμῶν || κρεῖττόν τι προβλεψαμένου, ἵνα
f 287r μὴ χωρὶς ἡμῶν τελειωθῶσι», στρεβλοῦν ἐπιχειροῦσι τὸν νοῦν ἐνταῦθα τοῦ παρὰ τοῦ Χριστοῦ λεχθέντος τῷ πιστῷ ληστῇ, φάσκοντες μεθ' ὅσης ἂν εἴπῃ τις τῆς ἀντινομίας, μήπω ἀπολελαυκέναι τὰς τῶν δικαίων ψυχὰς τὸν παράδεισον. Ἀλλ' ἔδει συνοιδεῖν αὐτούς, ὅτι οὐκ εἶπεν ἀορίστως, ἔσῃ ἐν τῷ παραδείσῳ, ἵνα μὴ περὶ τοῦ μέλλοντος τοῦτο ἐκλάβῃς, ἀλλὰ προσέθηκε τὸ «σήμερον»· ἀλλ' οὐδὲ εἶπε σήμερον μετ' ἐμοῦ εἶ ἐν τῷ παραδείσῳ, ὅπερ ἐνεστῶτός ἐστι σημαντικόν, ἐν γὰρ τῷ σταυρῷ ὢν οὐκ ἦν ἐν τῷ παραδείσῳ, ἀλλὰ σήμερον ἔσῃ, ὅπερ δηλοῖ, ὅτι οὐ μετὰ πολὺ τοῦτο γενήσεται, ἀπαλλαγέντος σου τῆς παρούσης βιοτῆς, καὶ ὡς ἵνα εἴπῃ, ὁ ὢν μετ' ἐμοῦ σήμερον ἐν τῷ σταυρῷ καὶ μετ' ἐμοῦ σήμερον ἔσῃ ἐν τῷ παραδείσῳ, ἤγουν αὐθημερόν. Τοῦτο οὖν σαφηνίζων ὥσπερ ἔν τινι τῶν κατ' αὐτὸν μελουργηθέντων τροπαρίων ὁ Σύρος Ἰωάννης φησίν. «Ἐν τάφῳ σωματικῶς, ἐν Ἅδου δὲ μετὰ ψυχῆς ὡς Θεός, ἐν παραδείσῳ δὲ μετὰ λῃστοῦ καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστὲ μετὰ Πατρὸς καὶ Πνεύματος καὶ πάντα πληρῶν ὁ ἀπερίγραπτος». Τὸ
f 287v δὲ εἰπεῖν τὸν || Ἀπόστολον, «καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν», οὐ περὶ τοῦ παραδείσου τοῦτο φαμὲν εἰρηκέναι ἀλλὰ περὶ τῆς οὐρανίου ἀπολαύσεως. Πανταχοῦ γὰρ οὐράνιον ὁ Κύριος βασιλείαν ἡμῖν ὑπισχνεῖται ἀποδώσειν, οὐκ ἐπίγειον. «Δεῦτε, γάρ φησιν, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονο-

[4]) ἐν τῇ ᾤᾳ : περὶ τῶν κατὰ τὸ ἅγιον Πάθος [8]) Μάρκ. 15, 28. Ἡσ. 53,12 [10]) Ἰωάν. 23,42—43. [14]) Ἑβρ. 11,39. [29]) Μ. Ὡρολόγιον, Ἀθῆναι 1915 σ. 442 [31]) Ἑβρ. 11,39 [35]) Ματθ. 13,35

Ε.Υ.Δ. ... ΙΩΑΝΝΙΝΑ 2006

μήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν πρὸ καταβολῆς κόσμου». Πρὸ καταβολῆς δὲ κόσμου πάντως ὁ οὐρανὸς ἡτοίμασται, οὐχ ὁ παράδεισος· ὁ γὰρ παράδεισος μετὰ ταῦτα πεφύτευται. Καὶ πάλιν, «θέλω ἵνα ὅπου εἰμὶ ἐγώ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμήν». Καὶ αὖθις, «ἐὰν πορευθῶ καὶ ἑτοιμάσω ὑμῖν τόπον, πάλιν ἔρχομαι καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν, ἵνα ὅπου εἰμὶ ἐγὼ καὶ ὑμεῖς ἦτε», ἐν τῷ οὐρανῷ δῆλον ὅτι. Ὡς καὶ ἐν ἑτέρῳ, «χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς». Ναὶ μὴν καὐτὸς ὁ Ἀπόστολος τὰ αὐτὰ ἐπικυρῶν φησιν· «ἡμῶν τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν» καὶ τὰ ἑξῆς. Ἀλλὰ δὴ καὶ ὁ Πέτρος, || «εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ f 288r τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα ζῶσαν δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν, εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον, τετηρημένην ἐν οὐρανοῖς εἰς ὑμᾶς τοὺς ἐν δυνάμει Θεοῦ φρουρουμένους διὰ πίστεως εἰς σωτηρίαν ἑτοίμην ἀποκαλυφθῆναι ἐν καιρῷ ἐσχάτῳ». Ἀλλὰ ταῦτα μὲν καὶ ἕτερα πλεῖστά εἰσι τὰ μαρτυροῦντα περὶ τούτου.

Τοῦ δὲ Ἰησοῦ τεθνηκότος ἐν τῷ σταυρῷ αἰτεῖ τὸ σῶμα παρὰ τοῦ Πιλάτου ὁ ἐξ Ἀριμαθαίας Ἰωσὴφ καὶ τίθησιν ἐν καινῷ μνημείῳ, σμύρνῃ καὶ ἀλόῃ ἐνειλήσας τὸ πρότερον. Ἀλλ' ἐπείπερ οἱ Ἰουδαῖοι ἦσαν ἀκηκοότες παρὰ τοῦ Χριστοῦ, ὅτι ὥσπερ ὁ Ἰωνᾶς ἐποίησεν ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτω δεῖ καὶ αὐτὸν ἐν τῇ καρδίᾳ τῆς γῆς τοσαύτας ἡμέρας ὡσαύτως καὶ νύκτας ποιῆσαι καὶ ἀναστῆναι, ἔρχονται πρὸς Πιλάτον καὶ φασίν. «Ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι ζῶν, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. Κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας, μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ νυκτὸς κλέψωσιν αὐτὸν καὶ εἴπωσι τῷ λαῷ ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἔσται || ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώ- f 288v της. Ἔφη αὐτοῖς ὁ Πιλάτος· ἔχετε κουστωδίαν, ὑπάγετε ἀσφαλίσασθε ὡς οἴδατε. Οἱ δὲ πορευθέντες, φησίν, ἠσφαλίσαντο τὸν τάφον, σφραγίσαντες τὸν λίθον μετὰ τῆς κουστωδίας». Ταῦτα δὲ οὐχ ἁπλῶς καὶ μάτην ἐγένετο, ἀλλά τινι θείᾳ πάντως συγχωρήσει καὶ οἰκονομίᾳ εἰς πίστωσιν τῆς ἀναστάσεως. Τῇ γὰρ τρίτῃ ἡμέρᾳ ὄρθρου βαθέος σεισμοῦ γενομένου ἀνέστη ὁ Κύριος καὶ ἄγγελος προσελθὼν ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας τοῦ μνημείου καὶ ἐκάθητο ἐπάνω τοῦ λίθου,

[1]) ἐν τῇ φα: ἐν τοῖς Χρυσοστομικοῖς πρὸ καταβολῆς κόσμου φέρεται [3]) Ἰωάν. 17, 24 [5]) Ἰωάν. 14, 3 [7]) Ματθ. 5, 12 [9]) Φιλιπ. 3, 20 [11]) Α΄ Πέτρ. 1, 3. [18]) ἐν τῇ φα: περὶ τῶν κατὰ τὴν ταφὴν [24]) Ματθ. 26, 63—66.

ΙΩΑΝΝΙΝΑ 2006

ὃς καὶ εὐηγγελίσατο ταῖς προσελθούσαις γυναιξὶ τὴν τοῦ Κυρίου ἔγερσιν. «Τινὲς δέ, φησί, τῶν ἀπὸ τῆς κουστωδίας ἐλθόντες εἰς τὴν πόλιν ἀπήγγειλαν πάντα τοῖς ἀρχιερεῦσι· συμβούλιον δὲ ποιήσαντες οἱ ἀρχιερεῖς μετὰ τῶν πρεσβυτέρων, ἔδωκαν ἀργύρια ἱκανὰ τοῖς στρατιώταις, συκοφαντῆσαι τὴν τοῦ Χριστοῦ ἀνάστασιν, λέγοντες· εἴπατε ὅτι ἡμῶν κοιμωμένων ἦλθον οἱ μαθηταὶ αὐτοῦ καὶ ἔκλεψαν αὐτόν· καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς πείσομεν αὐτὸν καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν». Εἶδες ὑπερβολὴν κακίας αὐτῶν ἐν γνώσει; ||
89r Ὄντως πεπλήρωται τὸ ῥηθὲν ὑπὸ Κυρίου τῷ Ἰεζεκιήλ· «ὁ δὲ οἶκος τοῦ Ἰσραὴλ οὐ μὴ θελήσουσιν εἰσακοῦσαί σου, διότι οὐ βούλονται εἰσακοῦσαί μου, ὅτι πᾶς οἶκος Ἰσραὴλ φιλόνεικοί εἰσι καὶ σκληροκάρδιοι». Εἰ γὰρ κατὰ τὸν καιρὸν τῆς αἰχμαλωσίας τοῦτο ἐλέχθη, ἀλλ' οὐχ ἥκιστα καὶ ἐπὶ τούτοις ἁρμόσειεν. Ἀλλ' εἴποι τις ἂν πρὸς αὐτοὺς εἰκότως. Ὦ μιαροὶ καὶ παμμίαροι, τίνος ἕνεκεν φύλακας τῷ μνήματι ἐπεστήσατε; Ἵνα μὴ κλέψωσι, φησί, τὸ σῶμα. Καλῶς· οὐκοῦν φυλασσόντων πῶς ἐκλάπη; Αὐτῶν, φησί, κοιμωμένων. Ἀλλ' οὐκ ἀξιόπιστος εἶ, ἐχθρὸς ὢν τοῦ Χριστοῦ· οὐδὲ γὰρ ἂν ἐκ τοσούτου πλήθους τῶν παρακαθημένων οὐδεὶς ᾔσθετο τῆς τῶν μαθητῶν παρουσίας. Ἄλλως τε καὶ τοῦ λίθου μεγίστου ὄντος τοῦ ἐπὶ τῆς θύρας τοῦ μνημείου, ἐχρῆν τινα κτύπον ἀποτελεσθῆναι ἀποκυλισθέντος ὑπ' αὐτῶν, ὡς ἐντεῦθεν διυπνισθῆναι τοὺς φύλακας. Τὸ δὲ θαυμαστόν, ὅτι καὶ ἐσμυρνισμένου τοῦ σώματος, τὰ ὀθόνια εὑρέθησαν μόνα ἐν τῷ μνήματι· εἰ γὰρ ἔκλεψαν, ἐχρῆν αὐτοὺς ὡς εἶχεν ἅμα τῇ σινδόνι αὐτὸ ἑλεῖν. Τὸ δὲ μόνον τὸ σῶμα λαβεῖν, τὰ δὲ ὀθόνια καταλεῖψαι, μεγάλης ἀδείας ὑπάρχει || καὶ πολλοῦ καιροῦ ἔργον, ὄντων κεκολλημένων τῶν ἐνταφίων
1289v τῷ σώματι τῇ σμύρνῃ. Καὶ ἐγνώσθη ἂν τὸ δρᾶμα τοῖς φυλάσσουσι, τοσαύτης οὔσης τῆς σχολῆς ἐπὶ τῷ ἀποσπασμῷ τῆς σινδόνος. Ἀλλὰ καὶ ὑμεῖς, ὦ στρατιῶται καὶ οἱ λοιποὶ φύλακες, εἴπατε ἡμῖν· εἰ ἐκαθεύδετε, ὡς λέγετε, πῶς εἴδετε τοὺς μαθητὰς κλέψαντας; Εἰ δὲ εἴδετε, τίνος χάριν οὐκ ἐκωλύσατε ἢ καὶ ἐκρατήσατε; Ἀλλὰ τί χρὴ τοὺς τοσούτους κύκλους ἀνελίττειν καὶ οὐ λέγω τι συντομώτερον, πῶς εἰς τοσοῦτον δῆμον στρατιωτῶν καὶ Ἰουδαίων φονώντων κατ' αὐτῶν ἐτόλμησαν οἱ φυγάδες προσελθεῖν, καὶ μᾶλλον ἐγγὺς τῆς πόλεως ὄντος τοῦ τάφου, ὥστε ἑκατέρωθεν εἶναι τὸν φόβον, ἔκ τε τοῦ φυλάσσοντος πλήθους, ἔκ τε τῶν ἐν τῇ πόλει μενόντων; Εἰ γὰρ τοῦ καθηγητοῦ αὐτῶν ἔτι παριόντος, δειλίᾳ συσχεθέντες αὐτὸν ἐγκατέλιπον καὶ ὁ κορυφαῖος

¹) **Σχόλιον ἐν τῷ περιθωρίῳ: ἰστέον ὅτι αἱ γυναῖκες τὴν μὲν τοῦ σώματος ἀπόθεσιν εἶδον, τὴν δὲ τῶν παρακαθημένων αὐτῷ τήρησιν οὔ· διὰ τοῦτο καὶ παρεγένοντο ²) Ματθ. 28, 11–14 ³) Ἰεζ. 3, 7.**

**²⁵) κεκολυμένων B**

αὐτῶν ἠρνήσατο, πῶς νεκροῦ γενομένου ἐτόλμησαν ἂν προσελθεῖν; Τίς ἡ ὠφέλεια ὑπὲρ νεκροῦ σώματος κινδυνεύειν καὶ πανταχοῦ τῆς οἰκουμένης περιέρχεσθαι καὶ μυρία μᾶλλον δὲ πάντα πάσχειν δεινὰ καὶ οὕτω φέρειν, || ὥστε καὶ ἐναβρύνεσθαι ταῖς βασάνοις, καὶ μάλιστα εἰ f 290r ἔγνωσαν, ὅτι αὐτοὺς ἐχλεύασεν ὡς πλάνος; Ἢ πῶς ἂν ἐδυνήθησαν ἄνθρωποι ἰδιῶται, τὸν ἄπειρον τουτονὶ καὶ πολύγλωσσον κόσμον πεῖσαι ὅτι ἀνέστη, εἰ μὴ πάντως ἀνέστη καὶ ἡ δύναμις τοῦ ἀναστάντος αὐτοῖς συνήργει; Ἀλλ' αὕτη μὲν ἡ μανία τῶν Ἰουδαίων κατὰ Χριστοῦ. Αὐτὸς δὲ ἀναστὰς ὤφθη τοῖς μαθηταῖς αὐτοῦ πλειστάκις, ὡς διαγορεύει τὸ ἱερὸν Εὐαγγέλιον, καὶ μετὰ τὴν τεσσαρακοστὴν ἡμέραν τῆς αὐτοῦ ἀναβιώσεως ἀνελήφθη εἰς οὐρανούς, αὐτῶν ὁρώντων τῶν μαθητῶν, καὶ ἐκάθισεν ἐν τῇ ἀπεριγράπτῳ δεξιᾷ τοῦ Πατρός. + Ὃς καὶ κατὰ τὴν συντέλειαν τοῦ αἰῶνος τούτου ἐλεύσεται ἀπ' οὐρανοῦ μετὰ δόξης ἀνεικάστου καὶ ὑπερβαλλούσης δυνάμεως εἰς τὸ κρῖναι πάντας τοὺς ἀπ' αἰῶνος ἀνθρώπους, ὡς γέγραπται· «καὶ ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς»· καὶ πάλιν, «ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ καὶ συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη». || f 290v Ὥσπερ γὰρ «ὁ Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ», φησὶν ὁ Ἀπόστολος. Ἀλλὰ πρόσχες τῷ ῥήματι, πῶς ἐπὶ μὲν τοῦ Χριστοῦ τὴν τελευτὴν θάνατον ὠνόμασεν, ἐφ' ἡμῶν δὲ κοίμησιν, ἵνα ἅμα καὶ τοὺς κατὰ φαντασίαν ἀποθανεῖν τὸν Χριστὸν φάσκοντας καὶ τοὺς τὴν ἀνάστασιν τῶν νεκρῶν μὴ δεχομένους ἀπορραπίσῃ.

Εἰπέ μοι τοίνυν, ὦ αἱρετικέ, τίνος χάριν ἀθετεῖς τὴν τῶν σωμάτων ἀνάπλασιν; Ὡς ἀδύνατον ἄρα τῷ Θεῷ ἢ ὡς ἀνοίκειον ἢ ὡς κακίζων τῷ σώματι τῷ σῷ. Καὶ εἰ μὲν ἀδύνατον εἶναι λέγεις τὸν Θεὸν εἰς τοῦτο, πάντως ἀδυνατώτερον κατ' ἀρχὰς ἐκ τοῦ μὴ ὄντος παραγαγεῖν τὰ σύμπαντα. Ἀλλὰ μὴν ὡς γέγραπται ἐν Ἰώβ, «οἶδα ὅτι πάντα δύνασαι· ἀδυνατεῖ δέ σοι οὐδέν». Εἰ δὲ ὡς ἀνοίκειον, καὶ τίνος ἕνεκεν φράσον. Οὐ δίκαιόν ἐστι τὸ συμπρᾶξαν τῇ ψυχῇ καλά τε καὶ ἐναντία συναπολαῦσαι ταύτῃ καὶ τὰς ἀμοιβὰς παρὰ τοῦ δικαίου κριτοῦ; Εἰ δὲ κακόν ἐστι τὸ σῶμα, καὶ διὰ τοῦτο οὐ θέλεις αὐτὸ ἀναστῆναι, ἄρα κακοῦ ποιητὴν τὸν Θεὸν ὡμολόγησας. Εἰ γὰρ κακόν, τίνος χάριν ἐκ

**15) Ματθ. 24,30   17) Ματθ. 25,31   20) Α΄ Θεσ. 4,14   26) ἐν τῇ ὠᾳ: κατὰ Ἑλλήνων καὶ Σαμαρειτῶν καὶ Σαδδουκαίων, Ὠριγένους καὶ Μάνεντος. 30) Ἰώβ. 42,2.**

τοῦ μὴ ὄντος παρήγαγε, τὶ δὲ ὅλως καὶ τὰς τροφὰς δι' αὐτὸ χορηγεῖ;
f 291r Διατὶ ἐν τάξει εὐεργεσίας τὸν Λάζαρον καὶ λοιποὺς ἑτέρους || ἤγειρεν
εἶ κακὸν τὸ σῶμα; Εἶ δὲ τὰ σώματα οὐκ ἀνίστανται, ὥστε ὑποστῆναι
κρίσιν καὶ ἀνταπόδοσιν τῶν αὐτοῖς πεπραγμένων, ἄρα οὐδὲ αἱ συμ-
πράξασαι αὐτοῖς ψυχαί. Καὶ πῶς κριτὴς λογισθείη Χριστὸς ζώντων
καὶ νεκρῶν, ὡς γέγραπται ἐν ταῖς Πράξεσι τῶν ἁγίων Ἀποστόλων,
ὅτι, «παρήγγειλεν ἡμῖν κηρύξαι τῷ λαῷ καὶ διαμαρτύρασθαι ὅτι αὐ-
τός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ Θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν»;
Καθ' ἃ δὴ καὶ Παῦλος γράφων Ῥωμαίοις φησίν, «εἰς τοῦτο γὰρ Χρι-
στὸς καὶ ἀπέθανεν καὶ ἀνέστη καὶ ἔζησεν, ἵνα νεκρῶν καὶ ζώντων κυ-
ριεύσῃ». Πῶς δὲ καὶ ἀνάστασις νομισθείη τοῖς νοῦν ἔχουσιν, εἰ νεκροὶ
οὐκ ἐγείρονται; Οὐ γὰρ ἁρμόδιον εἰπεῖν ἐπὶ ψυχῆς ἀνάστασιν, ἀθα-
νάτου τυγχανούσης. «Δεῖ γάρ, φησί, τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι
ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν». Ἆρ' οὐκ
ἐνωτίζῃ τοῦ Ἡσαΐου λέγοντος, «ἀναστήσονται οἱ νεκροὶ καὶ ἐγερθή-
σονται οἱ ἐν τοῖς μνημείοις» καὶ αὖθις, «ἰδοὺ ὁ Θεὸς ἡμῶν κρίσιν
ἀνταποδίδωσι καὶ ἀνταποδώσει»; Ἀλλ' οἶδα δι' ὃ οὐκ ἀποδέχῃ τὴν
τῶν σωμάτων ἀνάπλασιν, προΰπαρξιν πάντως ψυχῶν δογματίζων
f 291v καὶ || μετενσωμάτωσιν, διδαχθεὶς πάντως παρὰ τοῦ πατρός σου τοῦ
Σατανᾶ. Εἰ γὰρ αἱ ψυχαὶ προϋπῆρχον τῆς δημιουργίας τοῦ σώματος,
ἔδει τὸν Θεὸν ἄρα κατ' ἀρχὰς πολλὰ σώματα παραγαγεῖν, ἀναλό-
γως ταῖς περιβαλλούσαις αὐτὰ ψυχαῖς, οὐχὶ μόνον τὸν Ἀδάμ. Ἔδει
δὲ κἂν τοῦτο μὴ εἰπεῖν τὸν Θεόν, «ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα
ἡμετέραν καὶ καθ' ὁμοίωσιν», ἀλλὰ ποιήσωμεν σώματα εἰς ὑποδοχὴν
τῶν ψυχῶν. Τὸ δὲ εἰπεῖν τὴν Γραφήν, «καὶ ἐνεφύσησεν εἰς τὸ πρό-
σωπον αὐτοῦ πνοὴν ζωῆς» δηλοῖ ὅτι τὴν μὴ προϋπάρχουσαν ψυχὴν
ἐν αὐτῷ ἐδημιούργησεν. Ἀλλὰ ταῦτα μὲν Ἑλλήνων παῖδες σὺν σοὶ
μυθολογήτωσαν, οἵτινες οὐκ ὤκνησαν καὶ εἰς κτήνη καὶ εἰς φυτὰ κατα-
γαγεῖν τὴν νοερὰν καὶ κατ' εἰκόνα Θεοῦ κτισθεῖσαν ψυχήν. Ἡμεῖς δὲ
ἀκούομεν τοῦ Ἀποστόλου λέγοντος· «οὐ πάντες κοιμηθησόμεθα, πάν-
τες δὲ ἀλλαγησόμεθα», ἐκ φθορᾶς εἰς ἀφθαρσίαν μετασκευασθέντες
δῆλον ὅτι· καὶ πάλιν «καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον·
f 292r ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς || ἁρπαγη-
σόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα». Εἰ δὲ καὶ
ζῶντες εὑρεθήσονταί τινες κατὰ τὴν δευτέραν τοῦ Χριστοῦ παρου-

3) ἐν τῇ ῷᾳ: κατὰ Ὠριγένους καὶ Μάνεντος 7) Πράξ. 10,42 9) Ῥωμ. 14,9 13) Α΄ Κορ. 15,53 15) Ἡσ. 26,19 16) Ἡσ. 35,4. 23) Γεν. 1,26 26) Γεν. 2,7 30) Α΄ Κορ. 15,51 32) Α΄ Θεσ. 4,16.

4) ἀνταπόδωσιν B

Ε.Υ.Δ. του Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σίαν, μὴ ἰδόντες θάνατον κατὰ τὸν Ἀπόστολον, πρόδηλον ὅτι ἔσονται ἐν τῇ ἀναστάσει καὶ σώματα μετὰ τῶν ἰδίων ψυχῶν. Ἀλλὰ τίς ἂν ἕκαστα τὰ τῆς Γραφῆς προσφέρῃ μαρτυροῦντα τὴν ἀνάστασιν; Ἵνα δὲ μὴ καὶ τὴν ψυχὴν σὺν τῷ σώματι ἐκ τῆς πολλῆς μανίας ὑπολάβωσιν ἀποθνήσκειν, ἀκουέτωσαν τοῦ Χριστοῦ λέγοντος· «μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα ἀπολέσαι ἐν τῇ γεέννῃ». Ἐνταῦθα γὰρ καὶ ψυχὴν καὶ σῶμα εἶναι τὸ κρινόμενον ὁ Κύριος ἀπεφήνατο. Ἀλλὰ πῶς, φησίν, ὁ Θεὸς εὐλογήσας τὸν Νῶε καὶ τοὺς περὶ αὐτὸν ἔφη, «ὡς λάχανα χόρτου δέδωκα ὑμῖν τὰ πάντα· πλὴν κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε· καὶ γὰρ τὸ ὑμέτερον αἷμα τῶν ψυχῶν ὑμῶν ἐκζητήσω· ἐκ χειρὸς πάντων τῶν θηρίων ἐκζητήσω αὐτό, καὶ ἐκ χειρὸς παντὸς ἀνθρώπου || f 292v
ἀδελφοῦ αὐτοῦ ἐκζητήσω τὴν ψυχὴν τοῦ ἀνθρώπου. Ὁ ἐκχέων αἷμα ἀνθρώπου, ἀντὶ τοῦ αἵματος αὐτοῦ ἐκχυθήσεται, ὅτι ἐν εἰκόνι Θεοῦ ἐποίησα τὸν ἄνθρωπον;» Ἰδοὺ γὰρ ἐντεῦθεν μανθάνομεν, ὅτι καὶ ἡ ψυχὴ τοῦ ἀνθρώπου τὸ αἷμα αὐτοῦ ἐστι, ὡς καὶ τῶν λοιπῶν ζώων. Ταῦτα οὖν λέγοντες, ἀποδεῖξαι βούλονται, ὅτι οὐδὲν τὸ παράπαν κατὰ τοῦτο διενηνόχαμεν τῶν κτηνῶν, εἰ μὴ κατὰ τὸ σῶμα, ὅτι ἐκεῖνα μὲν ἰσχυρότερα καὶ ὑγιεινότερα κατά τε τὴν ἁρμονίαν κατά τε τὰς αἰσθήσεις, ἡμεῖς δὲ ἀσθενέστεροι. Εἰ οὖν οὕτως ἔχει, πῶς οὐκ ἐν εἰκόνι Θεοῦ λέγεται καὶ ταῦτα γεγενῆσθαι, ὥσπερ ἡμεῖς; Πῶς οὐ χεῖρας αὐτοῖς ὁ Θεὸς ἐδωρήσατο ἐν ὀρθίῳ τῷ σχήματι, ἵνα χρῶνται ταύταις καθάπερ καὶ ἡμεῖς; Πῶς ἡμῖν μὲν νόμος δίδοται, αὐτοῖς δ' οὔ; Πῶς ὑπὸ τὴν ἐξουσίαν ἡμῶν εἰσι καὶ ὑφ' ἡμῶν κυριεύονται ὡς ἄλογα, καὶ ἐσθίονται κατὰ τὴν θείαν φωνήν, οὐχὶ δὲ καὶ τὸ ἔμπαλιν; Ἀλλὰ σύνετε ἄθλιοι, ὅτι τὸ αἷμα καὶ τὰ λοιπὰ στοιχεῖα ἀλλὰ δὴ καὶ ἡ τροφὴ συστατικὰ εἰσι τῆς προσκαίρου ταυτησὶ ζωῆς. Διὰ τοῦτο αἷμα ψυχῆς καλεῖ, οὐχὶ αἷμα αὐτὴν τὴν ψυχήν, παιδεύων ἡμᾶς ὁ Κύριος ἐν τούτῳ ἐκκλίνειν τὸ αἱμοβόρον ὡς θηριῶδες καὶ αἰδεσίμους εἶναι. Εἰ γὰρ καὶ συγκεχώρηται ἡμῖν ἐσθίειν τὸ κρέας, ἀλλὰ χρὴ καί τινα ἐγκράτειαν ἐνδείκνυσθαι, ὥσπερ καὶ γαμεῖν ἐφεῖται, ἀλλ' οὐ δῆτα καὶ πορνεύειν. || Οὕτω καὶ f 293r
τῷ Ἀδὰμ τὴν κατὰ πάντων τῶν ξύλων ἀπόλαυσιν ἐπέτρεψεν, ἑνὸς δὲ

1) ἐν τῇ ᾤᾳ : κατὰ Σαμαρειτῶν 5) Ματθ. 10,28 9) Γεν. 9,5 10) ἐν τῇ ᾤᾳ : δῆλον ὅτι ὥσπερ ἐπὶ τῶν λαχάνων πάντα μὲν ἔξεστι φαγεῖν, οὐ πάντα δὲ συμφέρει, οὕτω καὶ ἐπὶ τῶν κρεῶν τῶν ἀλόγων· ἐπεὶ πάντα καθαρὰ εἴη καὶ Θεὸς τῇ κρατηθείσῃ παρὰ τῶν ἀνθρώπων συνηθείᾳ πρὸ τοῦ κατακλυσμοῦ ἀκάθαρτά τινα αὐτῶν ἀορίστως ἐκάλεσεν, οὐ μὴν δὲ καὶ ἀβλαβῆ.

23) τούτοις B

μόνου ἐκώλυσε, δι' αἰτίαν τινὰ πάντως. Οἶμαι δὲ καὶ ὥσπερ τόξον τέθεικεν ἐν τῇ νεφέλῃ εἰς σημεῖον διαθήκης τοῦ μηκέτι ἐπαγαγεῖν τὸν δι' ὕδατος κατακλυσμόν, οὕτω καὶ τὴν τοῦ αἵματος μετάληψιν ἀπηγόρευσεν εἰς σημεῖον διαθήκης τοῦ ἀναστῆσαι αὖθις τὰ ἡμέτερα σώματα. Ἵν' ὅταν ἐρωτηθῇς παρά τινος, διατὶ οὐκ ἐσθίεις αἷμα, ἐρεῖς αὐτῷ, ὅτι τὴν ἡμετέραν ψυχὴν ἐκζητῆσαι μέλλει Κύριος ἐν τῇ τῆς ἀναστάσεως ἡμέρᾳ. Διὰ τοῦτο καὶ περὶ τοῦ ἡμετέρου αἵματος καὶ τῆς ψυχῆς εἴρηται μόνων ὅτι ἐκζητηθήσονται, οὐχὶ δὲ καὶ περὶ τῶν κτηνῶν, ὅτι ἡμῶν μὲν καὶ μετὰ θάνατον μένει ἡ ψυχή, ἥκιστα δὲ καὶ τῶν κτηνῶν. Εἰ δὲ ἐνταῦθα καὶ ἐν τῇ παρούσῃ βιοτῇ ἐκζητηθήσεται ὥσπέρ τις εἴσπραξις δίκης παρὰ τῶν φονευσάντων, πῶς ὁρῶμεν τινὰς μὲν ἀγαθοὺς δυστυχοῦντας, πονηροὺς δὲ εὐπραγοῦντας τὸ ἔμπαλιν, εἰ μὴ καὶ ἐν τούτῳ τὸν Θεὸν ψεύστην καὶ ἄδικον ὁμολογήσωσι καὶ ἡμᾶς ὁμοίως τοῖς κτήνεσι συναπόλλυσθαι; Ἀλλ' εἰ ψεύστης καὶ ἄδικός ἐστιν, οὐδὲ Θεὸς ἄρα. Οὔτε γὰρ οἱ νόμοι αὐτοῦ βέβαιοι ὡς ψεύστου καὶ ἀδίκου, οὔτέ τις Πρόνοια ἔσται. Δεῖ γὰρ τὸν Θεὸν ὡς δίκαιον
1293v προνοεῖν τῶν αὐτοῦ ποιημάτων. || Δεῖ δὲ καὶ ἄδικον ὄντα, ὑφ' ἑτέρου κριθῆναι δικαίου Θεοῦ. Εἰ δὲ Θεὸς ἄδικος, πρέπον ἐστὶ καὶ ἡμᾶς αὐτοῦ μιμεῖσθαι ἐν τῷ ἀλλήλους κατεσθίειν, καὶ οὐκ ἄν ποτε ἐν τούτῳ κατακριθησόμεθα, ἐπεὶ καὶ ὡς κτήνη τὸ κοινὸν χρέος ἰὸν ἰὸν ἀποτίομεν· καὶ ἀργείτωσαν λοιπὸν οἱ νόμοι καὶ τὰ κριτήρια. Ἀλλὰ μὴ ἀπατᾶσθε ὅσοι τε τῶν ἡμετέρων καὶ ὅσοι τῆς ἀλλοτρίας ὁμηγύρεως ἐπὶ τοῖς τοιούτοις ματαίοις λογισμοῖς. Ἔστιν ἀνάστασις νεκρῶν, ἔστι κρίσις, ἔστιν ἀνταπόδοσις. Κρινεῖ δὲ ἕκαστον ὁ Κύριος κατὰ τὸν νόμον, ὃν δέδωκεν· οἷον τοῖς μὲν μετὰ τὸν σκιώδη νόμον τὸ ἐντελὲς ἀπαιτήσει, τοῖς δὲ πρὸ τοῦ τελείου τὸ ἀτελὲς ἀναλόγως, τοῖς δὲ καὶ πρὸ τούτου τοῦ ἀτελοῦς τὴν πίστιν. Ἐπεὶ καὶ ἐν τῷ Ἅδῃ κατελθὼν ἐκήρυξε, καθ' ἃ φησιν ὁ κορυφαῖος τῶν Ἀποστόλων Πέτρος. «Ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς ἐκήρυξεν, ἀπειθήσασί ποτε, ὅτε ἀπεξεδέχετο ἡ τοῦ Θεοῦ μακροθυμία ἐν ἡμέραις Νῶε κατασκευαζομένης κιβωτοῦ». Καὶ μετ' ὀλίγα· «εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι μὲν κατὰ ἀνθρώπους σαρκί, ζῶσι δὲ κατὰ Θεὸν πνεύματι». Δίκαιος γάρ, κατὰ τὸν Δαυίδ, καὶ ὅσιος ὁ Κύριος. «Καὶ ἀφο-
1294r ριεῖ, φησίν, αὐτοὺς ἀπ' ἀλλήλων ὥσπερ ὁ ποιμὴν || ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐριφίων, καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. Τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμα-

28) Α΄ Πέτρ. 3,19  31) Πέτρ. 4,6  33) Ψαλμ. 144,17  34) Ματθ. 25,32-46

Ε.Υ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου» καὶ τὰ ἑξῆς. Καὶ τοῖς ἐξ εὐωνύμων αὖθις· «πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον». Ἐπ' ἀμφοτέρων δὲ εἴρηται τὸ αἰώνιον, ἐπί τε τῆς κολάσεως ἐπί τε τῆς βασιλείας, ἵνα μὴ νομίσῃς πέρας ἔχειν θάτερον αὐτῶν. Ἀλλὰ ποῦ, φησί, τὸ φιλάνθρωπον τοῦ Θεοῦ, εἰ οὕτως ἀνοικτεὶ κολάσει τοὺς ἁμαρτωλούς; Τί οὖν, οὔ σοι δοκεῖ φιλανθρωπίας τὸ ἑαυτὸν ὑπὲρ ἡμῶν δοῦναι τοῖς φρικτοῖς πάθεσι, καίτοι ἐχθρῶν ὄντων, τὸ μετανοοῦντας δέχεσθαι ἐν τῷ παρόντι αἰῶνι, τὸ ὀλιγοχρόνιον ποιῆσαι τὸν βίον ἡμῶν, ἵνα μικρὸν κοπιῶντες, μεγάλα κερδίσωμεν; Μὴ γὰρ οὐκ ἔδωκεν ἡμῖν ἐντολὰς ἐλαφράς; Μὴ οὐ προεῖπε πάντα τά τε τοὺς ἁμαρτωλούς, τά τε τοὺς δικαίους ἐκδεχόμενα || ἐν τῷ μέλλοντι; Μὴ οὐκ ἐποίη- f 294v
σεν αὐτεξουσίους; Ἵν' οὖν πᾶσαν ἀφ' ἡμῶν πρόφασιν περιέλῃ, οὐδὲν ἐγκατέλιπε τῶν ὅσα πρὸς τὴν ἡμετέραν σωτηρίαν τε καὶ θεραπείαν, μέχρι καὶ σαρκώσεως καὶ σταυρώσεως καὶ ταφῆς αὐτῆς καὶ ἀναστάσεως, ἵν' οὕτω καὶ τὸν νόμον αὐτοῦ στηρίξῃ καὶ τὴν ἀνάστασιν ἡμῖν πιστώσηται καὶ τὸ ἀγαθὸν αὐτοῦ καὶ δίκαιον ἐνδείξηται. Δεῖ γὰρ τὸν Θεὸν οὐ μόνον ἀγαθὸν εἶναι, ἀλλὰ καὶ δίκαιον· καὶ τὸ μὲν ἀγαθὸν αὐτοῦ δείκνυται, ἐν τῷ μετανοοῦντας αὐτὸν συγχωρεῖν, τὸ δὲ δίκαιον, ἐν τῷ ἐπιμένοντας ἡμᾶς τοῖς κακοῖς τιμωρεῖν, ὡς γέγραπται ἐν Ἰεζεκιήλ, «δικαιοσύνη δικαίου οὐ μὴ ἐξέληται αὐτὸν ἐν ᾗ ἂν ἡμέρᾳ πλανηθῇ, καὶ ἀνομία ἀνόμου οὐ μὴ κακωθῇ ἐν ᾗ ἂν ἡμέρᾳ ἀπυστρέψῃ ἀπὸ τῆς ἀνομίας αὐτοῦ». Καὶ ἐν ὅσῳ μὲν οὖν ἐσμὲν ἐν τῷ παρόντι βίῳ, ἔξεστιν ἡμῖν μετανοεῖν· ἐν γὰρ τῇ ἡμῶν ἐξουσίᾳ κεῖται καταλεῖψαι μὲν τὸ πονηρόν, ποιῆσαι δὲ τὸ ἀγαθόν· ἀπελθόντες δὲ ἐντεῦθεν οὐκέτι δυνάμεθα μετανοεῖν. «Νῦν, γάρ φησιν ὁ Ἀπόστολος, καιρὸς εὐπρόσδεκτος, νῦν ἡμέρα σωτηρίας»· καὶ ὁ Ἡσαΐας, «καιρῷ δεκτῷ ἐπήκουσά σου καὶ ἐν ἡμέρᾳ || σωτηρίας ἐβοήθησά σου». Ὡσαύτως f 295r
καὶ Δαυῒδ «οὐκ ἔστι, φησίν, ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ Ἅδῃ τίς ἐξομολογήσεταί σοι;» Καὶ ὁ Ἐκκλησιαστής, «οὐκ ἔστι μνήμη τοῦ σοφοῦ μετὰ τοῦ ἄφρονος εἰς τὸν αἰῶνα», καὶ πάλιν «οὐκ ἔστι πᾶν πόνημα καὶ λογισμὸς καὶ γνῶσις καὶ σοφία ἐν Ἅδῃ, ὅπου οὐ πορεύει». Ὁ δὲ Χριστὸς ἐκ προσώπου τοῦ Ἀβραὰμ φησίν, «ἀπέ-

5) ἐν τῇ ὥρᾳ: κατὰ Ὠριγένους καὶ Εὐνομίου καὶ Ἰταλῶν. 22) Ἰεζ. 33,12. 27) Β' Κορ. 62 28) Ἡσ. 49,8 30) Ψαμλ. 6,5 31) Ἐκκλ. 2,16 33) Ἐκκλ. 9,10 34) Λουκ. 16,25-26

20) αὐτῷ Β

Ε.Υ.Δ τμ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λαβες τὸ ἀγαθά σου ἐν τῇ ζωῇ σου καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι· καὶ ἐπὶ πᾶσι τούτοις μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι ἐντεῦθεν πρὸς ὑμᾶς μὴ δύνωνται, οὐδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσιν». Ὁρᾷς ὅτι ἀμετάβατά εἰσι τά τε ἀγαθὰ τά τε κακὰ ἐν τῷ μέλλοντι; Διὰ τοῦτο ὁ Χριστὸς παραινεῖ ἡμᾶς λέγων, «πορεύεσθε ἕως τὸ φῶς ἔχετε» καὶ τὰ ἑξῆς. Οὐκ ἔστιν οὖν ἄφεσις ἁμαρτιῶν μετὰ θάνατον, εἰ μὴ ἐπί τινων οὐδαμινῶν, οἷον λόγου ἀργοῦ καὶ ἀτάκτου γέλωτος καὶ ἀμελείας τῆς περὶ τὴν ἱερὰν σύναξιν, κόρου τε βρωμάτων καὶ πομάτων καὶ τῶν ὁμοίων, ἅπερ ἡμῖν μὲν εἰς οὐδὲν λογίζονται, παρὰ δὲ τῷ Θεῷ καὶ ταῦτα ζητεῖται· καὶ τοῦτο δὲ φημί, ‖ f 295v δι᾽ ἐντεύξεως τῶν ἔτι παριόντων τῷ βίῳ δικαίων καὶ ἱερῶν ἀνδρῶν, ἐλεημοσυνῶν τε καὶ προσφορῶν καὶ τῶν νενομισμένων ἐπ᾽ αὐτοῖς φημὶ τοῖς ἀποβεβιωκόσι τελετῶν τε καὶ συνάξεων, ἢ δι᾽ εὐποιϊῶν καὶ λοιπῶν ἀρετῶν, ὧν κατέλιπέ τε καὶ ἔπραξε τοῖς ζῶσιν ἔτι κατηλεγμένος ὁ τεθνηκώς, ἢ καὶ θλίψεων ἢ πειρασμῶν παντοδαπῶν, ὧν ὑπέμεινε συγχωρήσει Θεοῦ. Ἐπεί τοι γε ἐπὶ μεγάλων ἁμαρτημάτων οὐδὲν τοιοῦτον ἰσχύει, εἰ ἀμετανόητος ἀπῆλθε κατὰ τὸ λόγιον, «ἐν ᾧ εὕρω σε καὶ κρινῶ σε». Εἰ γὰρ ἐνεδέχετο δι᾽ εὐποιϊῶν τῶν γινομένων ὑπὲρ τῶν ἀμετανοήτως τελευτησάντων λυτροῦσθαι αὐτοὺς τῆς κολάσεως, τάχα μετὰ τὴν κοινὴν ἀνάστασιν οὐδεὶς ἂν ἀπώλετο· εἰ μὴ καὶ ἐν τούτῳ ἄδικον τὸν Θεὸν ὁμολογήσαιμεν, ὅτι τοὺς μὲν τῶν ἁμαρτωλῶν κολάζει, τοὺς δὲ ἐλεεῖ, οὐ κρίσει καὶ δικαιοσύνῃ χρώμενος, ἀλλὰ τῇ δυναστείᾳ. Πῶς γάρ, εἰπέ μοι, δικαιωθήσεται ὁ φονεὺς καὶ ὁ μοιχὸς καὶ ὁ πόρνος καὶ ὁ κλέπτης καὶ οἱ ὅμοιοι, οἵτινες ἀπ᾽ ἐντεῦθεν εἰσὶν ἀφωρισμένοι τοῦ Θεοῦ καὶ ἀκοινώνητοι τοῦ χριστιανικοῦ καταλόγου κατὰ τοὺς ἐκκλησιαστικοὺς θεσμούς, οἵτινες ἠγάπησαν τὸ σκότος μᾶλλον ἢ τὸ φῶς, ‖ f 296r ὑπὲρ ὧν οὐδὲ θυσίαν ἔξεστι προσφέρειν, οὐδὲ τὰς συνήθεις εὐχὰς ἀνενέγκαι; Ἢ οὐκ ἤκουσας τοῦ Χριστοῦ λέγοντος, «ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ»; Ἄρ᾽ οὖν ὡς ἐντεῦθεν ἕκαστος ἀπέρχεται, οὕτω καὶ ἐκεῖ κρίνεται. Καὶ ὅτι οὕτως ἔχει, ἄκουσον τοῦ Ἀποστόλου ἀριδήλως βοῶντος καὶ οἱονεὶ ἀποφατικῶς ἐν τῇ πρώτῃ πρὸς Κορινθίους ἐπιστολῇ. «Ἄδικοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν»· καὶ ἐπάγει μετὰ ταῦτα· «μὴ πλανᾶσθε, οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, οὔτε κλέπται, οὔτε πλεονέκται, οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ οὐ κλη-

[illegible]) Ἰωάν. 12,35 29) Ματθ. 18,18 34) Α΄ Κορ. 6,9-10

Ε.Λ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ρονομήσουσιν». Ἐν δὲ τῇ πρὸς Γαλάτας αὖθις, «φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκός, ἅτινά ἐστι μοιχεία, πορνεία, ἀκαθαρσία, ἀσέλγεια, εἰδωλολατρεία, φαρμακεία, ἔχθραι, ἔριδες, ζῆλοι, θυμοί, ἐρίθειαι, διχοστασίαι, αἱρέσεις, φθόνοι, φόνοι, μέθαι, κῶμοι καὶ τὰ ὅμοια τούτοις, ἅπερ λέγω ὑμῖν καθὼς καὶ προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν». Ὑπὲρ ὧν καὶ ὁ Χριστὸς ἔφη, ὅτι || «ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται». f 296v
Διὸ δεῖ μετανοεῖν ὁλοψύχως καὶ ἀνυπερθέτως, ἤτοι ἐκκλίνειν ἀπὸ κακοῦ κατὰ τὰ θεῖα λόγια καὶ ποιεῖν ἀγαθόν· τοῦτο γὰρ γνησία μετάνοια, τὸ δὲ πεπλασμένως καὶ μετὰ ἀναβολῆς, οὐ μετάνοια ἀλλὰ χλεύη καὶ Θεοῦ ἀγανάκτησις ἄντικρυς.

Ἀλλὰ ποῦ, φησίν, ἔστιν ἡ τῶν ἁρματωλῶν κόλασις καὶ ἐν ποίῳ χώρῳ; Ἔδει οὖν μὴ ἐρευνᾶν ποῦ ἐστιν, ἀλλὰ πῶς οἷόν τέ ἐστιν αὐτὴν ἐκφυγεῖν, ἵνα μὴ αὐτῇ τῇ πείρᾳ γνωσώμεθα τὸν χῶρον. Ὅμως οὐδὲ τοῦτο ἄγνωστον παρὰ τῇ Γραφῇ. Καὶ γὰρ φησὶν ὁ Ἀπόστολος, «τὸ δὲ ἀνέβη τί ἐστιν, εἰ μὴ ὅτι καὶ κατέβη πρῶτον εἰς τὰ κατώτερα μέρη τῆς γῆς;» Καὶ Ἰωάννης ἐν τῇ Ἀποκαλύψει, «οὐδεὶς ἠδύνατο ἐν τῷ οὐρανῷ οὐδὲ ἐπὶ τῆς γῆς οὐδὲ ὑποκάτω τῆς γῆς ἀνοῖξαι τὸ βιβλίον». Ὁ δὲ Ἰακὼβ αὖθίς φησι, «καταβήσομαι πρὸς τὸν υἱόν μου πενθῶν εἰς Ἅδου», καὶ πρὸς τοὺς υἱεῖς «καὶ κατάταξετέ μου τὸ γῆρας μετὰ λύπης εἰς Ἅδου». Ὡσαύτως καὶ Μωϋσῆς περὶ Δαθὰν καὶ Ἀβειρών, «καὶ καταβήσονται, φησί, ζῶντες εἰς Ἅδου» ὁ δὲ Δαυὶδ «ἂν ἀναβῶ εἰς τὸν οὐρανὸν σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν Ἅδην πάρει». Ἀλλὰ δὴ καὶ Ἀμὼς ἐκ προσώπου τοῦ Κυρίου, «ἐὰν κατορυγῶσιν εἰς Ἅδου, ἐκεῖθεν || ἡ χείρ μου ἀνασπάσει αὐτούς· καὶ ἐὰν ἀναβῶσιν εἰς τὸν οὐρανόν, ἐκεῖθεν κατάξω αὐτούς». Ἐκ τούτων οὖν πάντων δείκνυται, ὅτι ὑπὸ τὴν f 297r
γῆν ἐστιν ὁ Ἅδης, ἤτουν κόλασις τῶν ἁμαρτωλῶν. Οἶμαι δὲ ὥσπερ ἡ τῶν δικαίων ἀπόλαυσις διχῶς ὁρίζεται, εἴς τε τὴν πρόσκαιρον, ἥτις ἐστὶν ὁ παράδεισος, πρόσκαιρον δὲ λέγω ὡς παραπεμπομένην τοὺς ἁγίους εἰς τὴν οὐράνιον καὶ ἀΐδιον καὶ οἷον ἀρραβῶνα ὑπάρχουσαν ταύτης, εἴς τε αὐτὴν τὴν οὐράνιον, ἥτις ἐστὶ διάδοχος τῆς προσκαίρου ταύτης καὶ προσγειοτέρας· οὕτω δὴ καὶ ἡ τῶν ἁμαρτωλῶν καταδίκη διχῶς, ἡ μὲν ἀτελεύτητος καὶ ἀδιάδοχος καὶ κατωτέρα, διὸ καὶ ἐξώτερον σκότος λέγεται, ἔνθα κλαυθμοὶ καὶ βρυγμοὶ καὶ σκώληξ ἀκοίμητος καὶ πῦρ ἄσβεστον καὶ ὅσα ἄλλα παρὰ τῇ Γραφῇ ἱστόρηται· ἡ δὲ πρόσκαιρος καὶ κουφοτέρα, ταμιευομένη τοὺς ἁμαρτωλοὺς εἰς τὴν ἀπέ-

1) Γαλ. 5,19-21 7) Μάρκ. 9,44. 15) Ἐφ. 4,9 17) Ἀπ. 5,3 19) Γεν. 37,35 21) Ἀριθ. 16,30 22) Ψαλμ.138,7 24) Ἀμ. 9,2.



Ε.Υ.Δ. τμ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ραντον καὶ ἀδιάδοχον, ἥτις Ἅδης καὶ φυλακὴ ἰδίως παρὰ τῇ Γραφῇ λέγεται, τὸ μὲν διὰ τὸ ἀϊδὲς καὶ ζοφῶδες, τὸ δὲ διὰ τὸ οἱόν τινα προκαταδίκην εἶναι τῆς μελλούσης καὶ φυλλάττειν τοὺς καταδίκους εἰς ἡμέραν κρίσεως, μᾶλλον δὲ κατακρίσεως· εἰς ἣν καὶ πρὸ τῆς τοῦ Χριστοῦ καταβάσεως ἦσαν αἱ ψυχαὶ καθειργμέναι πάντων τῶν ἀπ'
1v αἰῶνος βροτῶν, || ὑπευθύνων ὄντων τῆς τοῦ γενάρχου παραβάσεως, ὡς ἐξ αὐτοῦ καταγομένων. Ἀπὸ κοινοῦ δὲ πᾶσαι αἱ περιέχουσαί τε καὶ περιμένουσαι τοὺς ἁμαρτωλοὺς τιμωρίαι Ἅδης λέγονται διὰ τὸ ἀφεγγές. Ἀλλ' οὕτω μὲν ἀπελεύσονται οἱ ἁμαρτωλοὶ εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι τοὔμπαλιν εἰς ζωὴν αἰώνιον καὶ οὐράνιον, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθε Χριστός, ὅπου οἱ ἅγιοι ἄγγελοι μετὰ τῆς προσηκούσης εὐλαβείας καὶ δορυφορίας αὐτῷ παρεστήκασι· καὶ οὕτω πάντοτε σὺν αὐτῷ ἔσονται χαρᾶς ἀφάτου καὶ ἀνεκλαλήτου πληρούμενοι καὶ λαμπηδόνι θείᾳ καὶ δόξῃ ἀφράστῳ κοσμούμενοι, ἄφθαρτοι, ἀθάνατοι, φωτεινοί, μὴ ὑποκείμενοί τινι ἀνάγκῃ σωματικῇ, ἐπεὶ εἰ τοῦτο ἦν, ὑπῆρχεν ἂν καὶ ἐν τῷ οὐρανῷ λύπη καὶ πόνος καὶ ἀθυμία, ἀλλ' ὡς ἄγγελοι ἔσονται Θεοῦ, ἀνώτεροι πείνης καὶ δίψης, καύσωνος τε καὶ ψύχους καὶ ἔρωτος σωματικοῦ, ἃ τῆς μετὰ τὴν παράβασιν καταδίκης εἰσὶν ἴδια. Οὐ γὰρ κληρονομήσει, φησὶν ὁ Ἀπόστολος, ἡ φθορὰ τὴν ἀφθαρσίαν· καὶ πάλιν «τὰ βρώματα τῇ κοιλίᾳ καὶ ἡ κοιλία || τοῖς βρώμασιν·
30r ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει», ἤγουν ἀργὰ καὶ ἄπρακτα θήσει, τὴν μὲν ὡς μὴ ἐνεργουμένην καὶ δεχομένην τὰ νῦν συνήθη βρώματα, τὰ δὲ ὡς ἄχρηστα καὶ μὴ ἐσθιόμενα, μηδὲ εὐτρεπιζόμενα διὰ τὴν γαστέρα ὡς νῦν. Καὶ ὁ Ἰωάννης ἐν τῇ Ἀποκαλύψει· «οὐ μὴ πεινάσουσιν ἔτι οὐδὲ διψήσουσιν ἔτι, οὐδὲ μὴ πέσῃ ἐπ' αὐτοὺς ὁ ἥλιος οὐδὲ πᾶν καῦμα, ὅτι τὸ ἀρνίον τὸ ἀνὰ μέσον τοῦ θρόνου ποιμανεῖ αὐτούς, καὶ ὁδηγήσει αὐτοὺς ἐπὶ ζωῆς πηγὰς ὑδάτων, καὶ ἐξαλείψει ὁ Θεὸς πᾶν δάκρυον ἐκ τῶν ὀφθαλμῶν αὐτῶν». Φησὶ δὲ καὶ ὁ Κύριος πρὸς τοὺς Σαδδουκαίους· «ὅταν ἐκ νεκρῶν ἀναστῶσιν, οὔτε γαμοῦσιν οὔτε ἐκγαμίζονται ἀλλ' εἰσὶν ὡς ἄγγελοι ἐν τοῖς οὐρανοῖς». Ὥσπερ γὰρ οἱ ἄγγελοι μόνον τὸ θεῖον ἔχουσι τρυφὴν καὶ ἀπόλαυσιν καὶ θάλψιν καὶ πᾶν ὁτιοῦν καὶ τὴν ἐξ αὐτοῦ τερπνὴν καὶ ἀκόρεστον μαρμαρυγὴν καὶ ἀπρόσιτον φωτοχυσίαν, οὕτω καὶ οἱ δίκαιοι σὺν αὐτοῖς εἰς αἰῶνα ἀγαλλόμενοι, ὑμνοῦντες καὶ δοξολογοῦντες τὸν ἀγαθὸν δεσπότην αὐτῶν καὶ Κύριον. Ἀμήν.

[10]) ἐν τῇ φφ: κατὰ Σαρακηνῶν, φθαρτὴν καὶ ἀλλόκοτόν τινα ἀπόλαυσιν δογματιζόντων [19]) Α' Κορ. 15,50 [20]) Α' Κορ. 6,13 [24]) Ἀποκ. 7,16-17 [29]) Ματθ. 22,30. [32]) ἐν τῇ φφ: τῷ κόρῳ ἕπεται ἀηδία.

Ε.Υ.Δ τμ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ϛ΄. Παραλειπόμενον τῷ αὐτῷ λόγῳ. Παρακλήσει τινῶν ὀρθοδόξων διὰ πλείω σαφήνειαν.

Δοκεῖ δέ μοι μηδὲ προλαβεῖν ἐν τῷ παραδείσῳ τὴν τοῦ ληστοῦ f 68r ψυχὴν τὰς λοιπὰς ψυχὰς ἐκ τοῦ βραδύτερον ἐκπνεῦσαι τοῦ Χριστοῦ ὥστε ἐν τῷ μεταξὺ χρόνῳ τῆς τε τοῦ Χριστοῦ ἐκπνεύσεως καὶ τῆς τούτου γενέσθαι διὰ τοῦ Χριστοῦ καὶ τὴν τῶν εἰς Ἅδου ἀνάστασιν τῶν ψυχῶν καὶ οὕτως ἁπάσας συνεισελθεῖν ἐν τῷ παραδείσῳ μετὰ τῆς τοῦ Χριστοῦ. Τὸ δὲ εἰπεῖν τὸν Ἀπόστολον, «καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν», οὐ περὶ τοῦ παραδείσου τοῦτό φαμεν εἰρηκέναι, ἀλλὰ περὶ τῆς οὐρανίου ἀπολαύσεως. Πανταχοῦ γὰρ ὁ Κύριος οὐράνιον βασιλείαν ἡμῖν ὑπισχνεῖται ἀποδώσειν, οὐκ ἐπίγειον· ἐν τῷ μέλλοντι δέ, οὐκ ἐν τῷ παρόντι, ὥς τινες ἐκ διαμέτρου τοῖς προειρημένοις κακῶς ὑπετόπασαν. Ἀλλ' ὅτι μὲν οὐράνιον, δῆλον ἐκ τοῦ λέγειν· «χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς»· καὶ πάλιν, «ὅπου γὰρ ἐὰν ᾖ τὸ πνεῦμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί». Ὅτι δὲ ἐν τῷ μέλλοντι, δῆλον μὲν καὶ ἐκ τούτου, δῆλον δὲ καὶ ἐκ τοῦ λέγειν ἐν τῷ κατὰ Ἰωάννην. «Ἐὰν πορευθῶ ἑτοιμάσαι ὑμῖν τόπον, πάλιν ἔρχομαι καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν, ἵνα ὅπου εἰμὶ κἀγὼ καὶ ὑμεῖς ἦτε». Τὸ μὲν γὰρ πάλιν, τὸ ὕστερον δηλοῖ, τὸ δὲ ὅπου τὸν τόπον. Ὡς καὶ μετὰ ταῦτά φησι· «θέλω ἵνα ὅπου εἰμὶ ἐγώ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμήν». Καὶ αὖθις εἰς τὸ κατὰ Ματθαῖον εἰς τὴν ἑρμηνείαν τῆς παραβολῆς τῶν ζιζανίων τοῦ ἀγροῦ· «ὁ θερισμὸς συντέλεια τοῦ αἰῶνός ἐστιν· οἱ δὲ θερισταί, οἱ ἄγγελοί εἰσιν. Ὥσπερ οὖν συλλέγεται τὰ ζιζάνια καὶ πυρὶ καίεται, οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος τούτου. Ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ, || καὶ συλλέξου- f 68v σιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν». Καὶ πάλιν, «μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ». Καὶ πάλιν, «ἀμὴν λέγω ὑμῖν, ὅτι ὑμεῖς οἱ ἀκολουθή-

1) Κῶδ. Ναυ. 125 f. 68r—71r.

6) Ἑβρ. 11,39 11) Ἐν τῇ φα: ἐκ διαμέτρου τοῖς λέγουσι μηδὲ τὸν παράδεισον 12) Ματθ. 5,12 13) Ματθ. 24,28 15) Ἰωάν. 14,2 19) Ἰωάν. 17,14 21) Ματθ. 13,39-43 29) αὐτ. 16,27 31) Ματθ. 19,28.

ΕΚΔΟΣΕΙΣ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνων, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ». Τοῦτο καὶ δαίμονες ἀναγκαζόμενοι μαρτυροῦσι λέγοντες. «Τί ἡμῖν καὶ σοὶ Ἰησοῦ υἱὲ τοῦ Θεοῦ; ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς;». Διὸ καὶ ἐν τῷ μέλλοντι ἀκούσονται οἱ τούτοις πειθόμενοι, «ἀπέλθετε ἀπ' ἐμοῦ οἱ κατηραμένοι» καὶ τὰ ἑξῆς, ὥσπερ τοὐναντίον οἱ δίκαιοι, «δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου». Ἐπὶ τοῦ μέλλοντος καὶ τόδε θήσεις. «Ἦλθεν ὁ νυμφίος καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους καὶ ἐκλείσθη ἡ θύρα». Διὸ καί φησι. «Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται». Καὶ τὸ ἐν τῷ κατὰ Ἰωάννην. «Ὁ λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ». Τούτοις συνᾴδουσι καὶ οἱ λοιποὶ Εὐαγγελισταὶ περὶ τῶν ἀποταξαμένων τῷ κόσμῳ, ὅτι πρὸς τοῖς παροῦσιν ἀγαθοῖς καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον λήψονται. Καὶ πάλιν, «ὅταν ἐκ νεκρῶν ἀναστῶσιν, οὔτε γαμοῦσιν οὔτε γαμίσκονται, ἀλλ' εἰσὶν ὡς
69r ἄγγελοι ἐν τοῖς οὐρανοῖς». Ἀλλὰ ταῦτα μὲν παρὰ τῷ Εὐγγελίῳ· || χρὴ δὲ καί τινα τῶν ἀποστολικῶν εἰς μέσον ἀγαγεῖν, ἄνευ μέντοι τινὸς ἐξηγήσεως, διὰ τὸ σαφὲς τῶν ῥήσεων, εὐσύνοπτον δὲ τοῦ λόγου, ὡς κατ' ἀρχὰς ἐπηγγειλάμεθα. Καὶ δὴ ἐν ταῖς Πράξεσι φησὶ Πέτρος. «Μετανοήσατε οὖν καὶ ἐπιστρέψατε εἰς τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας, ὅπως ἂν ἔλθωσι καιροὶ ἀναψύξεως ἀπὸ προσώπου Κυρίου καὶ ἀποστείλῃ τὸν προκεχειρισμένον ὑμῖν Ἰησοῦν Χριστόν· ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι ἄχρι χρόνων ἀποκαταστάσεως πάντων ὧν ἐλάλησεν ὁ Θεὸς διὰ στόματος ἁγίων αὐτοῦ προφητῶν ἀπ' αἰῶνος». Ὁ δὲ Παῦλος αὖθις πρὸς Ῥωμαίους. «Λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται. Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα, ἐπ' ἐλπίδι ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ». Καὶ πρὸς Κορινθίους. «Μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν, καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ Θεοῦ». Καὶ πάλιν ἐκ δευτέρου γράφων αὐτοῖς φησί. «Θαρροῦμεν δὲ

4) Ματθ. 8,29. 6) Ματθ. 25,41 7) αὐτ. 34 9) Ματθ. 25,10 11) αὐτ. 13
16) Ματθ. 22,30 21) Πράξ. 3,19-21 27) Ῥωμ. 8,18. 33) Α' Κορ. 4,5
36) Β' Κορ. 5,8-10

Ε.Υ. ... Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006